μετὰ σπουδῆς ἐρανισάμενος, τὰ πλείω δὲ καὶ οἴκοθεν συνεισενεγκὼν τῷ πράγματι ἄριστα καὶ ἐλλογιμώτατα, ὡς ὁρᾷς, τουτὶ καθ' αὐτὸν συνέθετο τύποις· καίπερ τοῖς ἄλλοις τῶν ἐκείνου συγγραμμάτων παραβαλλόμενοι οὗτοι συγγραμμάτιον ὡς ἀληθῶς εὑρεθήσονται· ἐφ' οἷς οὐ μετρίως ἀνιῶμαι ὅτι μὴ προχείρως ταῦτ' ἔχω, ἵν' ἐκδοθέντων ἐκείνων σὺν οὐδεμιᾷ φειδοῖ δαπάνης καὶ πόνου, καταφανὴς εἴη ἡ τοῦ ἀνδρὸς εἰς ἄκρον παιδείας ἔπαρσις· ἀλλ' ὅμως ἐξ ὄνυχος φασὶ λέοντα διαγιγνώσκεσθαι.

Πρὸς τούτοις δὲ προσφωνῶ σοι καὶ τὴν τούτου ῥητορικήν, καλλίστην τῷ ὄντι καὶ τοιούτῳ πανσόφῳ προσήκουσαν ῥήτορι· ἔτι δὲ καὶ ἐπιστολάς τινας μεταγενεστέρων σοφῶν Ἑλλήνων καὶ καθ' ἡμᾶς ἀκμασάντων. Τοῦτο τοίνυν τὸ θαυμαστὸν δῶρον, καὶ διὰ τούτου τοὐμὸν πρὸς σὲ πρόθυμον καὶ εἰλικρινὲς ὅπως ἀσμένως δέξασθαι, θεοφιλέστατε δέσποτα, ἀμειβόμενός με ταῖς σαῖς πρὸς τὸν θεὸν εὐχαῖς, ὡς ἂν ἀκινδύνως ταυτηνὶ τὴν μακρὰν καὶ διαπόντιον ὁδοιπορίαν ἀνύσας, τῆς σῆς ἱεροπρεποῦς θέας ἀξιωθείην, καὶ τῶν σῶν μελισταγῶν ῥημάτων ἐμφορηθείην· ἣν ἔφεσίν μου ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ἐκπληρῶν εἰς πέρας συντόμως ἄξοι· ὃν ἐρρωμένον σε διαφυλάττειν ἱκετεύω, εὐσεβῶς τε διεξάγοντα τὸ ἐμπιστευθέν σοι ποίμνιον, καὶ τὸν τῆς ἀληθείας λόγον θεαρέστως ὀρθοτομοῦντα. Ἀμήν.

Ἐν Λωνδώνῃ, τῇ τῆς Ἀγγλοβρεττανίας μητροπόλει, γαμηλιῶνος κδ' λήγοντος, ἔτει κοσμοσωτηρίῳ ͵αχκδ'.

Ὁ σὸς ἐν Χριστῷ
Νικόδημος ἱερομόναχος ὁ Μεταξᾶς.

Sathas affirme[1] que cet ouvrage de Corydalée est dédié à l'auteur lui-même. Le savant grec a-t-il eu sous les yeux un exemplaire de cette nature ? La chose en soi n'est pas impossible[2], et l'argument de Paul Lambros, qui taxe Sathas d'erreur, en invoquant la dédicace à Pachôme Doxaras[3], perd toute sa portée devant la dédicace

1. Νεοελληνικὴ φιλολογία, p. 253.
2. La littérature néo-hellénique nous en fournit un exemple : les Λόγοι πανηγυρικοὶ εἰς ἁπλοῦς στίχους de Dapontès (Venise, 1778, in-8°) sont dédiés à Dapontès lui-même. Voir Vrétos, *Catalogue*, première partie, n° 284.
3. *Troisième catalogue de livres rares* (en grec) publié par Paul Lambros (Athènes, 1869, in-8°), page 7.